# TEZAUR LITURGIC

## 5 IANUARIE

## ISIDORA AGHIROTITISSA

# PARACLISUL SF.CUVIOASE SINCLITICHIA DE LA ALEXANDRIA

ATENA,2020


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 05 ΙΑΝΟΥΑΡΙΟΣ ΣΥΓΚΛΗΤΙΚΗ ΟΣΙΑ ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Ισιδώρας Μοναχής Αγιεροθεϊτίσσης**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ᾽ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α᾽. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β᾽. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ᾽. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Μοναζουσῶν τὴν καλλονὴν καὶ τὸ κλέος, τῶν ἀρετῶν τὸ πολυτίμητον σκεῦος, Συγκλητικὴν τιμήσωμεν ᾀσμάτων ᾠδαῖς· ἄϋλον καὶ ὑπερκόσμιον, διεξῆλθε τὸν βίον, πόθῳ ἀγαπήσασα, τῆς ψυχῆς τὸν Νυμφίον· παρισταμένη ὅθεν σὺν Αὐτῷ, πᾶσιν αἰτεῖται, τῆς δόξης τὸν στέφανον.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν' (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Συγκλητικὴν τιμῶ, μοναζουσῶν τὸ κλέος.*

*Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.*

Σοφίαν παράσχου μοι σαῖς εὐχαῖς, καὶ σθένος ἐξ ὕψους, τοῦ ὑμνῆσαί με ἱκανῶς, τῆς σῆς ἰσαγγέλου πολιτείας· Συγκλητικὴ τὰ λαμπρὰ κατορθώματα.

Ὑπόπτερος Μῆτερ ὡς ἀετός, πρὸς πόλον ἀνέπτης, ταῖς ἀΰλοις σου προσευχαῖς, καὶ κάλλος ἑώρας σοῦ Νυμφίου· Συγκλητικὴ ἀσκουσῶν ἐγκαλλώπισμα.

Γυμνάσας Μῆτερ Συγκλητική, σαυτὴν ὑπομένειν, τῆς ἀσκήσεως τὸν ζυγόν, παρθένων ὡδήγησας χορείαν, πρὸς ἀρετῶν θεαρέστων γυμνάσματα.

*Θεοτοκίον.*

Κυρίαν Ἀγγέλων καὶ τῶν βροτῶν, ἔγωνμέν Σε Κόρη, θεοδόξαστε Μαριάμ, παθῶν κυριεύειν παραλόγων, τοὺς Σοὺς ἱκέταις λιταῖς Σου ἱκάνωσον.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Λαμπρυνθεῖσα τῷ κάλλει τῶν ἀρετῶν πάνσεμνε, ἤστραψας φαιδρῶς ἐν τῷ βίῳ, καθάπερ ἥλιος, καὶ καθυπέδειξας, Συγκλητικὴ μοναζούσαις, τρίβον πρὸς οὐράνιον, πόλιν ἀνάγουσαν.

Ἡδυνθεῖσα τῷ πόθῳ τοῦ θεϊκοῦ ἔρωτος, πάντα τὰ ἐν κόσμῳ ἡδέα, ὡς χοῦν παρέδραμες, ἀνεπιστρόφως διό, Συγκλητικὴ ἠκολούθεις, τὸν ἡδὺν Νυμφίον σου, θείαις ἀσκήσεσιν.

Τὸν Ἰὼβ ἐμιμήσω Συγκλητικὴ ἄριστα, πόνους τῇ σαρκὶ ὑποστᾶσα, θλίψεις τε χαίρουσα· διὸ πρὸς ἄπονον νῦν, συνεπαγάλλει νυμφῶνα, στέφανον κομίσασα, τὸν ἀμαράντινον.

*Θεοτοκίον.*

Ἰατρὸν ἡ τεκοῦσα πᾶσι βροτοῖς ἄμισθον, πάθη τῆς ψυχῆς μου Παρθένε, Σὺ ἐπικούφισον, ταῖς μητρικαῖς Σου λιταῖς, καὶ τὴν ὑγείαν παράσχου, πᾶσι τοῖς δοξάζουσι, Σοῦ τὴν ἀντίληψιν.

Προσάγαγε, ἱκετηρίαν πρὸς Κύριον εὐαρέστως, τῆς ἐρήμου Συγκλητικὴ φαιδρὸν ἐγκαλλώπισμα, δωρήσασθαι πᾶσι πταισμάτων λύσιν.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Παρθένων χορὸν ὁσίως διεποίμανας, εἰς χλόην τερπνήν, τῶν λόγων τοῦ Κυρίου σου, καὶ ἡμᾶς ὁδήγησον· εἰς νομὴν ζωῆς τὴν σωτήριον, Συγκλητικὴ καὶ σκέπασον ἡμᾶς, τοὺς πόθῳ τιμῶντας τοὺς ἀγῶνάς σου.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Κραταιὸν ὅπλον ἔσχηκας, Μῆτερ προσευχὴν νηστείαν καὶ δάκρυα, τοῖς αὐτοῖς κἀμὲ ὁπλίσασθαι, ὦ Συγκλητικὴ εὐχαῖς σου δίδαξον.

Ἡ τοῦ Πνεύματος χάρις σε, ὄργανον τερπνὸν καὶ θεῖον εἰργάσατο· ἐμελῴδεις ὅθεν ῥήματα, μοναζούσαις Μῆτερ τὰ σωτήρια.

Νουνεχῶς προτετίμηκας, ὦ Συγκλητικὴ τῆς δόξης τὸν Κύριον· διὸ πλοῦτον καὶ εὐγένειαν, ὡς ἱστὸν ἀράχνης κατεπάτησας.

*Θεοτοκίον.*

Τὴν Παρθένον ὑμνήσωμεν, τὴν μετὰ τὸν τόκον μείνασαν ἄφθορον· καὶ καρδίας ὄμμα αἴροντες, τὴν Αὐτῆς πρεσβείαν αἰτησώμεθα.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ἴασαι ἡμῶν, τῆς ψυχῆς δεινὰ ἀλγήματα, ὡς ὑπέμεινας στεῤῥῶς Συγκλητική, ἐν τῇ σαρκί σου πολυώδυνα νοσήματα.

Μύρον νοητόν, ἐκ ψυχῆς σου Μῆτερ ἔβλυσεν, ὅτι ἔφερες γενναίῳ λογισμῷ, ἀσθενειῶν σου, τὰ δυσφόρητα ἀλγήματα.

Ὥριμον καρπόν, ἐκβλαστάνειν με ἀξίωσον, καὶ διάθρεψον σοφὴ Συγκλητική, τοῖς μελιῤῥύτοις, καὶ ἐνθέοις σου διδάγμασιν.

*Θεοτοκίον.*

Μόνην τὸν Θεόν, ἀνωδύνως ἀπεκύησας, ἀπειρόγαμε Παρθένε Μαριάμ, ἡμᾶς ἐκ πόνων, τῆς κολάσεως ῥυόμενον.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Ὀρθρίσασα, πρὸς Θεὸν ἐπέτασας, ἐν κλαυθμῷ τὰς σεβασμίας σου χεῖρας, Συγκλητική, καὶ εἵλκύσω τὸ Πνεῦμα, τὸ ἀγαθὸν καὶ εὐθὲς καὶ πανάγιον· Αὐτὸ σκηνῶσαι καὶ ἡμῖν, τοῖς πιστοῖς σου ἱκέταις δυσώπησον.

Νηστεύουσα, τὸν ἐχθρὸν ἐνίκησας, τὸν τὴν Εὔαν ἐκνικήσαντα πάλαι, Συγκλητική, ἐγκρατείας ἡ στάθμη, καὶ ἀρετῶν ἀκριβὴς ὑποτύπωσις· διὸ παράσχου καὶ ἡμῖν, ἀρεταῖς τὴν ζωὴν διανύσασθαι.

Ἀδούλωτον, τῆς ψυχῆς τὸ φρόνημα, διετήρησας στεῤῥᾷ σου ἀσκήσει, καὶ πρὸς Χριστόν, τὸν Νυμφίον σου Μῆτερ, τῆς παρθενίας ταῖς πτέρυξιν ἔφθασας,

πρεσβείαις σου Συγκλητική· καὶ ἡμᾶς τῶν παθῶν ἐλευθέρωσον.

*Θεοτοκίον.*

Ζωήῤῥυτον, Σὲ πηγὴν ἐπέγνωμεν, ἀφθαρσίας ἀναβλύζουσα ῥεῖθρον, τὴν τοῦ Ἀδάμ, καταπαύσασαν δίψαν, Θεογεννήτρια Παρθένε πανάχραντε, τοῖς νάμασι Σῶν πρεσβειῶν, καὶ ἡμῶν τὰς καρδίας ἐπόμβρισον

Προσάγαγε, ἱκετηρίαν πρὸς Κύριον εὐαρέστως, τῆς ἐρήμου Συγκλητικὴ φαιδρὸν ἐγκαλλώπισμα, δωρήσασθαι πᾶσι πταισμάτων λύσιν.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.*

Μοναζούσαις ἀκλινῆ ὁδὸν καθυπέδειξας, ἑκουσίως τοὺς ἀσκητικοὺς ἄθλους στέρξασα· ὅθεν εὗρες τῶν σῶν καμάτων γέρα ἀληθῆ· διὸ πρεσβεύε Συγκλητική, τοῦ πορευθῆναι καὶ ἡμᾶς, τὴν ὁδὸν τῆς ἀσκήσεως, δίδου ἡμῖν ἀνδρείαν, καὶ σύνεσιν καὶ σοφίαν, εἰς τὸ τηρεῖν τὰς ἐντολάς, τοῦ Κυρίου ἐν εὐθύτητι.

Προκείμενον: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις Αὐτοῦ.*

Στ.: *Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

*Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον (κεφ. κε΄.1-13)*

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ὡμοιώθη ἡ Βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι καὶ αἱ πέντε μωραί. Αἵτινες μωραὶ λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν, οὐκ ἔλαβον μεθ᾽ ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος δὲ τοῦ νυμφίου ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον. Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· Ἰδού, ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· Δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι λέγουσαι· Μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν. Πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ νυμφίος καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ᾽ αὐτοῦ εἰς τοὺς γάμους καὶ ἐκλείσθη ἡ θύρα. Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι λέγουσαι· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν, οὐδὲ τὴν ὥραν, ἐν ᾗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

Δόξα: *Ταῖς τῆς Σῆς Ὁσίας...*
Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.
Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Δόξαν τὴν ἐπίκηρον, περιχαρῶς ἀπηρνήσω, καὶ σαὐτὴν ἐξέδωκας, ἑκουσίαις θλίψεσιν ἀξιάγαστε, τὴν σκληρὰν ἄσκησιν, ὡς τρυφὴν ἡγήσω, δι᾽ ἀγάπην τοῦ Νυμφίου σου, παρθένοις ῥήματα, τὰ θεοπρεπῆ ἐξεδίδασκες, αὐτὰς θερμῶς προτρέπουσα, τοῦ τηρεῖν Χριστοῦ τὰ προστάγματα, δέχου ἱκεσίαν, ἣν πόθῳ σοι προσάγομεν σεμνή, Συγκλητικὴ ἡ κοσμίσασα, Ὁσίων τὰ τάγματα.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Οἱ χοροὶ τῶν Ἀγγέλων κατεπλάγησαν πάντες καθυπομένουσαν, ὁρῶντές σε τοὺς πόνους, ψυχῆς ἐν προθυμίᾳ, καὶ πολλῇ γενναιότητι· μεθ᾽ ὧν ἀπαύστως Χριστόν, Συγκλητικὴ δυσώπει.

Ὑλικῆς ἐμπαθείας καὶ γηΐνων φροντίδων τὸν νοῦν ἐχώρησας, τῷ πόθῳ τετρωμένη, τῆς ἄνω Βασιλείας, καὶ εὐκλείας τῆς κρείττονος, ἣν καὶ ἡμῖν σαῖς εὐχαῖς, Συγκλητικὴ παράσχου.

Σελασφόροις ἀκτῖσι φωταυγείας ἐνθέου ηὐγάσθης ἔνδοξε, Θεὸν τὸν ἐν Τριάδι, ἀΰλως καθορῶσα, ὀφθαλμοῖς τῆς καρδίας σου· Συγκλητικὴ ὅθεν φῶς, ἡμῖν τὸ θεῖον δεῖξον.

*Θεοτοκίον.*

Ὡς νυμφῶνα τῆς δόξης καὶ παλάτιον θεῖον καὶ θρόνον πάγχρυσον, τῶν πάντων Βασιλέως, Παρθένε

Σε τιμῶμεν, καὶ Μητέρα τοῦ κτίσαντος· Τοῦτον ἀπαύστως ἁγνή, ἱλέωσαι εὐχαῖς σου.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Νομὴν πρὸς θείαν, Συγκλητικὴ καθοδήγεις, ἀσκουμένων παρθένων χορείαν, τῶν ἐφεπομένων, ἐνθέοις διδαχαῖς σου.

Τοῦ Παραδείσου, κάλλη τὰ ἄῤῥητα εἶδες, πρὸ τοῦ τέλους σου Μῆτερ Ὁσία, τούτων ἡμῖν δεῖξον, Συγκλητικὴν τὴν δόξαν.

Ὄμβροις δακρύων, Συγκλητικὴ οὐκ ἐπαύσω, καταβρέχεις στρωμνὴν τὴν σκληράν σου· ὅθεν αἰωνίως, ἡμᾶς δακρύων ῥῦσαι.

*Θεοτοκίον.*

Κρήνη ναμάτων, ζωοποιῶν Σὺ ὑπάρχεις, ἀπειρόγαμε Κόρη Μαρία, σβέσον Σαῖς πρεσβείαις, τῶν πειρασμῶν τὴν φλόγαν.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Λαμπτὴρ τοῖς ἐν τῷ σκότει, Μῆτερ ἀνεδείχθης, Συγκλητικὴ τῶν παρθένων φαιδρὰ καλλονή, τῆς παρθενίας ἀκτῖσιν, ἡμᾶς καταύγασον.

Εὐφράνασα ἐν βίῳ, Κύριον τῆς δόξης, ἐν οὐρανοῖς ἠξιώθης στεφάνων πολλῶν, Συγκλητικὴ τῆς ἀλήκτου, χαρᾶς μετέχουσα.

Οἰκοῦσα ἐν ὑψίστοις, σὺν χοροῖς Ὁσίων, Συγκλητικὴ ἀπολαύεις, Τρισήλιον Φῶς· διὸ ἡμῶν τὰς καρδίας, Μῆτερ καταύγασον.

*Θεοτοκίον.*

Σὲ τεῖχος καὶ λιμάν, ἔχοντες Παρθένε, οὐ δειλιῶμεν παγίδας ἐχθρῶν δυσμενῶν, ὅτι ὡς Μήτηρ ἰσχύεις, ὅσα καὶ βούλεσαι.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Ἁγνείας ὑπάρχουσα καλλονή, σωφροσύνης στήλη, ἐγκρατείας λαμπρὸς κανών, λάμπρυνον τὸν βίον, ἡμῶν τῶν σὲ τιμώντων, Συγκλητικὴ παρθένων, φαιδρὸν ἀγλάϊσμα.

Πόνους καρτεροῦσα ἐν τῇ σαρκί, ἄπονον πρὸς λῆξιν, μετετέθης Συγκλητική, ἔνθα ἀπολαύεις, χαρᾶς ἀνεκλαλήτου· διὸ ἡμῶν τὰς θλίψεις, εὐχαῖς σου κούφισον.

Στέρξασα τὰ ἄνω Συγκλητική, πάντων ὑπερεῖδες, τῶν ματαίων καὶ γεηρῶν, πλούτου γεννητόρων, καὶ πάσης προσπαθείας, ἵνα κερδίσῃς Μῆτερ, Χριστὸν τὸν Κύριον.

Τάγματα Ἀγγέλων ἐν οὐρανοῖς, ἔχαιρον ὁρῶντα, τὴν στεῤῥάν σου ὑπομονήν, ἥνπερ ἐπεδείξω, ἀνδρειοφρόνως Μῆτερ, Συγκλητικὴ ὡς στῦλος, Χριστοῦ ἀκλόνητος.

Χαίροις Μακεδόνων θεῖος βλαστός· χαίροις τῆς ἐρήμου, καλλιέρημα τὸ τερπνόν· χαίροις Ἐκκλησίας, Χριστοῦ ἡ ὡραιότης, Συγκλητικὴ Ὁσία, παρθένων καύχημα.

Πᾶσαι αἱ χορεῖαι μοναζουσῶν, Μῆτερ ἐγκαυχῶνται, τοῖς σοῖς ἄθλοις Συγκλητική, οὕσπερ ἐπεδείξω, προθύμῳ τῇ καρδίᾳ, ἡμῖν παρεχομένη, λαμπρὸν ὑπόδειγμα.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί...*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῆς ἡμῖν σφόδρα, μηδέ μνησθῆς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν...*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Λόγοις, σῶν ἐνθέων διδαχῶν, τῶν μοναζουσῶν τὰς καρδίας, προσαγαγοῦσα Χριστῷ, ἔχαιρες δοξάζουσα, Αὐτοῦ τὸ ὄνομα, τὸ γλυκὺ καὶ ἐράσμιον, παρέχουσα Μῆτερ, τύπον καὶ ὑπόδειγμα, σαὐτὴν πανάριστον· δίδου ἡμῖν σθένους ἐξ ὕψους, θλίψεις ὑπομένειν εὐτόνως, ὦ Συγκλητικὴ ἐρήμου καύχημα.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

